## FRAGMENTA DVBIA

1. *ὑμεῖς δ', ὦ Μεγαρεῖς, οὔτε τρίτοι οὔτε τέταρτοι*
*οὔτε δυωδέκατοι οὔτ' ἐν λόγωι οὔτ' ἐν ἀριθμῶι.*

2. . . . *φόρμιγγα ἄχορδον* . . .

3. † *βόμβων* † *ἐπαινήσω,* ⟨ *Πολυπαίδη* ⟩ . . .

4. *Μήποτέ μοι πενίην θυμοφθόρον ἀνδρὶ χαλεφθείς,*
*μηδ' ἀχρημοσύνην, Κύρνε, κακὴν πρόφερε.*
*Ζεὺς γάρ τοι τὸ τάλαντον ἐπιρρέπει ἄλλοτε ἄλλως,*
*ἄλλοτε μὲν πλουτεῖν, ἄλλοτε μηδὲν ἔχειν.*
*χρὴ δ'ἀεὶ κατὰ γῆν τε καὶ εὐρέα νῶτα θαλάσσης*
*δίζεσθαι χαλεπῆς, Κύρνε, λύσιν πενίης.*

5. *Κύρν', ἀγαθὸς μὲν ἀνὴρ γνώμην ἔχει ἔμπεδον αἰεί,*
*τολμᾶι δ'ἔν τ' ἀγαθοῖς κείμενος ἔν τε κακοῖς.*



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id40454875X/90 UNIVERSITÄT LEIPZIG